# APPENDICVLA GRAECA

## Sapphus et Callimachi continens carmina a Catullo Latine reddita

Sappho 31 Lobel-Page, 2 Diehl, Treu S. 24 (cf. Catull. c. 51)

*Φαίνεταί μοι κῆνος ἴσος θέοισιν*
*ἔμμεν᾽ ὤνηρ, ὄττις ἐνάντιός τοι*
*ἰσδάνει καὶ πλάσιον ἆδυ φωνεί-*
*σας ὐπακούει*

*καὶ γελαίσας ἰμέροεν, τό μ᾽ ἦ μὰν*
*καρδίαν ἐν στήθεσιν ἐπτόαισεν·*
*ὠς γὰρ ἔς σ᾽ ἴδω βρόχε᾽ ὤς με φώνας*
*οὖδεν ἔτ᾽ εἴκει,*

*ἀλλὰ κὰμ μὲν γλῶσσα †ἔαγε†, λέπτον*
*δ᾽ αὔτικα χρῷ πῦρ ὐπαδεδρόμηκεν,*
*ὀππάτεσσι δ᾽ οὐδ᾽ ἓν ὄρημμ᾽, ἐπιρρόμ-*
*βεισι δ᾽ ἄκουαι.*

*ἀ δέ μ᾽ ἴδρως κακχέεται, τρόμος δὲ*
*παῖσαν ἄγρει, χλωροτέρα δὲ ποίας*
*ἔμμι, τεθνάκην δ᾽ ὀλίγω ᾽πιδεύης*
*φαίνομ᾽ †αι . . .*

*ἀλλὰ πὰν τόλματον, ἐπεὶ †καὶ πένητα†*

Callimachus 110 Pfeiffer (cf. Catull. c. 66)

1 *Πάντα τὸν ἐν γραμμαῖσιν ἰδὼν ὅρον ᾗ τε φέρονται*
. . . . . . . . . . . . . . . . . . .
7 *†η με Κόνων ἔβλεψεν ἐν ἠέρι τὸν Βερενίκης*
*βόστρυχον ὃν κείνη πᾶσιν ἔθηκε θεοῖς*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408081929/105 UNIVERSITÄT LEIPZIG